σοφοῖς, ἐστὶ δὲ ὁ Ἀγάθων κωμῳδοποιὸς τοῦ Σωκράτους διδασκάλου, ἀγαθὸς τὸν τρόπον καὶ τὴν τράπεζαν λαμπρός. καὶ
A φασὶν ὅτι Πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων σὺν αὐτῷ καταχθέντων.

Ηρ. Ποῖ γῆς ὁ τλήμων; Δι. ἐς μακάρων εὐωχίαν.
Ηρακλ. Ο δὲ Ξενοκλῆς; Δι. ἐξόλοιτο νὴ Δία.
Ηρακλ. Πυθάγγελος δέ; Ξανθ. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος,
B Επιτειβομένου τὸν ὦμον οὑτωσὶ σφόδρα;
Ηρακλ. Οὔκουν ἕτερ' ἔστ' ἐνταῦθα μειρακύλλια,
Τραγῳδίας ποιοῦντα, πλεῖν ἢ μύρια,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα.
Δι. Επιφυλλίδες ταῦτ' ἐστὶ, καὶ στωμύλματα
Χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,
C Α φροῦδα θᾶττον, ἢν μόνον χορὸν λάβῃ,
Απαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
Γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι
Ζητῶν ἂν, ὅστις ῥῆμα γενναῖον λάκοι.
Ηρα. Πῶς γόνιμον; Δι. ὡδὶ γόνιμον, ὅστις φθέγξεται,
Τοιουτονί τι παρακεκινδυνευμένον.
Αἰθέρα, Διὸς δωμάτιον, ἢ χρόνου πόδα,
D Η φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν.
Γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.
Ηρ. Σὲ δὲ ταῦτ' ἀρέσκει; Δι. καὶ μάλα πλεῖν, ἢ μαίνομαι.
Ηρακλ. Η μὴν κόβαλλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ.

HE. *Quò abijt miser?* BA. *ad beatorum conuiuium.*
HE. *Vbi Xenocles?* BA. *pereat Xenocles, per Iouem.*
HE. *Pythangelus verò?* XA. *num de me nulla fit*
*Mentio? cuius humerus tanta mole premitur?*
HE. *An non alij hîc sunt, qui scribunt Tragœdias:*
*Puellorum plusquàm decem puto millia:*
*Qui vltra stadium Euripidem garrulitate superant?*
BA. *Reijculi hi sunt racemuli, & loquaculi:*
*Hirundinum musæa: artis poëticæ*
*Corruptores: statim euanidi, vbi vnum chorum*
*Adepti sunt, qui placeat in Tragœdia.*
*Sed natiuum Poëtam haud vllum reperies,*
*Vbicunque inquires: qui boni quid proferat,*
*Et generosam aliquam depromat sententiam.*
HE. *Quomodo natiuum?* BA. *sic natiuum: qui canat*
*Aliquid, graui coniunctum cum periculo:*
*Vt æthera, domum Iouis, & temporis pedem:*
*Aut mentem iurasse quidem inuitam per sacra:*
*Sed linguam peierasse seorsim à mente.* HER. *num*
*Ergo hæc tibi placent?* BA. *Imò placent supra modum.*
HE. *Certè hæc versuta sunt: vt tu etiam iudicas.*

Σχόλια. Ες μακάρων εὐωχίαν.] ἢ ὡς περὶ τετελευτηκότος λέγει, ὡσανεὶ περὶ τὰς μακάρων νήσους. ἢ ὅτι Αρχελάῳ τῷ βασιλεῖ μέχρι τελευτῆς μετ' ἄλλων πολλῶν συνῆν ἐν Μακεδονίᾳ. καὶ μακάρων εὐωχίαν ἔφη τὴν ἐν βασιλείοις. τοῦτο δὲ παρ' ὑπόνοιαν. Ξενοκλῆς.] υἱὸς Καρκίνου Ξενοκλῆς, κωμῳδεῖται ὡς ἄξεστος ἐν τῇ ποιήσει καὶ ἀλληγορικός. ἀδελφοὶ δὲ αὐτοῦ, Ξενόκλειτος καὶ Ξενότιμος. εἰσὶ δὲ ὥς φασι δύο Ξενοκλεῖς τραγῳδοὶ γεγονότες. τρίτος δέ ἐστι τούτοις ὁμώνυμος πολιτικός. φαύλου μὲν πατρός. τῷ δὲ δήμῳ Χολαργεύς. Πυθάγγελος δὲ] τραγῳδίας ποιητὴς μοχθηρὸς, καὶ ἄσημος. ὁ Ξανθίας δὲ ὑπομνησθεὶς Πυθαγγέλου φησὶν ὅτι οὐ φροντίζετέ μου καὶ ταῦτα Πυθαγγέλου μνημονεύοντες. καλῶς δὲ καὶ πικρῶς ἔδειξεν ὡς δοῦλος τὸ προκείμενον. Λαλίστερα.] πολυλογώτερα. εἰς τοῦτο γὰρ Εὐριπίδης ἐκακίζετο. Επιφυλλίδες,] τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. Καλλίστρατος δὲ, τὰ καθ' ἑαυτὰ μικρά. κέκληνται δὲ οὕτως, διὰ τὸ τοῖς φύλλοις καλύπτεσθαι. ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις. ἄλλως. ἐπιφυλλίδες εἰσὶ τὰ ἐν τοῖς βότρυσιν ἐν ἀρχῇ περιττώματα. οἱ δέ φασι τὰ ἐν κορυφαῖς τῶν κλημάτων. ταῦτα γὰρ οὐκ ὑποκάτω τῶν φύλλων ὡς οἱ βότρυες ἀλλ' ἐπάνω φύονται. δείκνυσι δὲ ἐντεῦθεν ὡς οὐδὲν περὶ λόγους εἰσί. Χελιδόνων μουσεῖα.] παρὰ τὰ ἐν Αλκμαίωνι Εὐριπίδου. πολὺς δ' ἀνεῖρπε κισσὸς εὐφυὴς κλάδος. χελιδόνων μουσεῖα. ἀντὶ τοῦ βάρβαρα καὶ ἀσύνετα. καὶ γὰρ παροιμία ἐπὶ τῶν
E βαρβάρων καὶ πολυλόγων καὶ ἐπαχθῶν ἐστι ταττομένη. τοιοῦτον γὰρ τὸ χελιδόνων γένος. πλέον διὰ τὸ πολὺ τῆς ᾠδῆς ἀνιῶν τοὺς ἀκούοντας ἢ διὰ τὸ μέλος εὐφραῖνον. καὶ ἐν τοῖς ἑξῆς οὐ περιβρέμεται Θρηϊκία χελιδών. Α φροῦδα.] ἀφανῆ ὑπὸ τῆς χαρᾶς. Ην μόνον.] ἤγουν εἴπερ ἅπαξ τοὺς παρεστῶτας ἐπαινέτας σχοῖεν τῶν δραμάτων. Προσουρήσαντα.] εὐθυδρομήσαντα. εὐδοκιμήσαντα. ἐν τραγῳδίας δράματι ἐπαινεθέντα. Γόνιμον δὲ ποιητὴν.] φυσικόν τινα καὶ μὴ βεβιασμένον. ἢ γεννητικόν. Παρακεκινδυνευμένον.] ὑψηλὸν βλάσφημον παράδοξον. ἀσύνηθες. Αἰθέρα Διός.] ἐξ Αλεξάνδρας Εὐριπίδου. καὶ χρόνου προβαίνει πόδα. καὶ ἐκ Μελανίππης Σοφοκλέους. ὄμνυμι δ' ἱερὸν Αἰθέρα, οἴκησιν Διός. Γλῶτταν δ' ἐπιορκήσασαν] ταῦτα ἐξ Ιππολύτου Εὐριπίδου. ἡ γλῶσσ' ὀμώμοχ' ἡ δὲ φρὴν ἀνώμοτος. Σὲ δὲ ταῦτ' ἀρέσκει.] ἀντὶ τοῦ σοί Ἀττικῶς. σημειωτέον τοίνυν ὅτι οἱ Ἀττικοὶ κέχρηνται τῷ τοιούτῳ σχηματισμῷ, καὶ Εὐριπίδης ἐν Βάκχαις, καταφρονεῖ με καὶ Θήβας ὅδε. Μάλα πλεῖν ἢ μαίνομαι.] Ἀττικοὶ μᾶλλον ἢ μαίνομαι. οἱ μὲν, φασὶν ἐκτείνουσιν. οἱ δὲ, συστέλλουσι. μεταλαμβάνεται δὲ εἰς τὸ μὲν οὖν. ἢ οὐκ. ἀλλὰ καὶ μᾶλλον. ἡ γὰρ μὴ ἀπαγόρευσις παρὰ τοῖς παλαιοῖς, ἀντὶ τοῦ οὐ ἀρνήσεως παραλαμβάνεται. ἄλλως. ἀλλὰ πλέον ἢ μαίνομαι ἐπ' αὐτῷ. τουτέστιν, ὑπερβαλλόντως μοι ἀρέσκει. Κόβαλλα.] κακοῦργα καὶ ἀνελεύθερα. Δίδυμος. κατεστωμυλμένα. ἀπατητικά. καὶ κακοβούλους κοβάλλους.